**0345-0407 - Iohannes Chrysostomus - De sancta Thecla martyre [1]**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 129 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

De sancta Thecla martyre

[00001] ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΡΩΤΟΜΑΡΤΥΡΑ Καὶ ἀπόστολον Θέκλαν ἐγκώμιον.

50.745

[00002] Καλὰς ἡμῖν ἡ τοῦ Πνεύματος χάρις τῶν ἁγίων εἰκόνας τὰς ἐτησίους αὐτῶν ἀνεστήσατο μνήμας, καὶ χρόνῳ τὰς πράξεις ἐρχομένας εἰς λήθην νεαρὰς διηνεκῶς διασώζει.

[00003] Ἕκαστος γὰρ ὥσπερ εἰκόνι τινὶ ἐντυγχάνων τῇ μνήμῃ, τὸ τῶν πράξεων κατοπτρίζεται κάλλος, καὶ θεωρεῖ τὰς πράξεις τῇ τῆς μνήμης ἐγκειμένας εἰκόνι.

[00004] Καί μοι δοκῶ σήμερον τὴν μακαρίαν ἐκείνην κατοπτρίζεσθαι κόρην, καθάπερ ἐπ' εἰκόνος ἑστηκυῖαν τῆς μνήμης, καὶ τῇ μὲν τὸν καθ' ἡδονῶν, τῇ δὲ τὸν κατὰ κινδύνων ἀνατείνουσαν στέφανον·

[00005] καὶ τῇ μὲν τὴν παρθενίαν, τῇ δὲ τὸ μαρτύριον τῷ τῶν ὅλων Δεσπότῃ προσφέρουσαν.

[00006] Ἦν μὲν οὖν αὐτῇ καὶ τὰ τῆς παρθενίας, ἃ τοῖς ἀκριβῶς σκοπουμένοις μέγα τι πρὸ μαρτυρίου μαρτύριον.

[00007] Αἱ γὰρ ἡδοναὶ δεινοί τινες τοῦ σώματος δήμιοι·

[00008] μᾶλλον δὲ δημίων δεινότεροι·

[00009] κατατείνουσι γὰρ ἀχειροποιήτοις δεσμοῖς·

[00010] ξέουσι τὴν ψυχὴν δι' ὀμμάτων·

[00011] προσφέρουσι δι' ἀκοῶν τῷ τῆς γνώμης ἀνενδότῳ φιληδονίας λαμπάδα, μαστιγοῦσι δριμείᾳ τὴν διάνοιαν μάστιγι, ἄλλας ἐπ' ἄλλαις κυκῶσι καθ' ἡμῶν παρατάξεις.

[00012] Ὅταν τις τοῖς ὀφθαλμοῖς παραγγείλῃ τετυφλῶσθαι πρὸς κάλλη, παρανοίγουσι τὸ κλεισθὲν ἡδοναὶ δι' ὤτων ἀσελγέσιν [50.746] ἐκλυόμενον ᾠδαῖς·

[00013] ὅταν ἐντύχωσιν ὠσὶ πρὸς ᾠδὰς πορνικὰς κεκλεισμένοις, προσπαίζουσι τοῖς λογισμοῖς ἀσελγῶς κοσμηθεῖσαι·

[00014] ὅταν αὐτὰς διὰ πάντων, συντόμως εἰπεῖν, ἐγρηγορότες νικήσωμεν, κοιμωμένοις σκιαμαχοῦσι·

[00015] καὶ τῆς παρατάξεως οὗτος αὐταῖς ὁ κύκλος ἀΐδιος, οὐχ ἡλίῳ συνεξιστάμενος, οὐ συνησυχάζων νυκτί.

[00016] Ἂν δὲ δὴ καὶ νεότητος λάβωνται, πυρὸς γέγονε πρὸς πῦρ συμπλοκὴ, καμίνου πρὸς καλάμην συνάφεια.

[00017] Εὐκατάπρηστος γὰρ ἡδοναῖς ἡ νεότης, ὡς ἐλαιωδεστέρα πρὸς ἔξαψιν, ὡς πρὸς πόνους σωφροσύνης τρυφερωτέρα.

[00018] Ἃ δὴ πάντα τῇ μακαρίᾳ παρθένῳ μακρόν τι μαρτύριον τὴν παρθενίαν εἰργάζετο·

[00019] πυκτευούσῃ ταῖς ἡδοναῖς, ὡς ὁ μάρτυς θηρίοις·

[00020] παλαιούσῃ τοῖς λογισμοῖς, ὡς ἐκεῖνος βασάνοις·

[00021] συμβαλλούσῃ φιληδονίας ἐννοίαις, ὡς ἀνάγκαις δημίων·

[00022] νικώσῃ δὲ ὅμως τὸν πολύτροπον οὕτω καὶ σύνοικον πόλεμον·

[00023] τοῦ γὰρ τῆς φύσεως πυρὸς τὸ τῆς γνώμης αὐτῇ πυρωδέστερον, καὶ ἅγιον.

[00024] Ἀλλ' ἡ μὲν φύσις παρεχώρει τῇ κόρῃ, καὶ τυραννοῦσα παρ' ἄλλοις, καὶ λυττῶσα πρὸς μίξιν, παρὰ Θέκλᾳ παρθενίαν ἐξήσκει·

[00025] οἱ γονεῖς δὲ τὰς πρὸς τὴν παρθενίαν τῆς παιδὸς οὐκ εἰδότες συνθήκας, οὐδὲ τῆς πρὸς αὐτὴν νυμφαγωγίας [50.747] τὸν Δεσπότην Χριστὸν ἐξ οὐρανοῦ δεδωκότα, πολλὰς αὐτῇ περὶ γάμων νουθεσίας ἐμακρολόγουν·

[00026] ἡ Παύλου δὲ ἄρα ταῖς τῆς κόρης ἀκοαῖς ἐπῳδὴ προενήφει, Ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι, καὶ πνεύματι.

[00027] Στέφανος τῆς παρθενίας εὐθύς·

[00028] αὐτὸς αὐτῇ πρῶτος τῆς μερίμνης ὁ τρόπος·

[00029] μεριμνᾷ γὰρ εὐλογίας ἀνάμεστον μέριμναν, μεριμνᾷ πάσης ἀμεριμνίας ἐλευθερωτέραν φροντίδα, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι.

[00030] Οὐδὲν αὐτῇ κοινὸν πρὸς τὴν γῆν, οὐδεμία πρὸς γαμικὰς ἀνάγκας συγγένεια, οἷον πορνεύοντος ἀνασχέσθαι νυμφίου, ὑποψίας ματαίας ὑπενεγκεῖν, ἐξουσίαν χρησίμων ἀφηρῆσθαι προόδων, περὶ τροφῆς διευθύνεσθαι, κοσμουμένην ζηλοτυπεῖσθαι, διαπτύεσθαι πρὶν τέκῃ, καθάπερ οὔπω γαμετὴν γενομένην, τεκοῦσαν ὑπὲρ τῶν τόκων εὑρίσκειν ἐγκλήματα.

[00031] Ἐτέχθη τις θήλεια;

[00032] ὅτι μὴ ἄῤῥεν, ὁ ἀνὴρ σκυθρωπάζει.

[00033] Προσετέθη καὶ ἄῤῥεν;

[00034] ἐτέχθη τὸ τεχθὲν, ὡς οὐκ εὔμορφον.

[00035] Χαρίεντα πρὸς κάλλος ἀμφότερα;

[00036] ὡς ὑπὲρ καλῶν ἡ φροντὶς πικροτέρα.

[00037] Ἀπηλλάγησαν γάλακτος;

[00038] διεδέξατο πάλιν ἀνατροφῆς

[00039] Επιτρέπετα

[00040] ἀγωνία·

[00041] ὅταν ὑγιαίνωσι, μὴ νοσήσωσι φόβος·

[00042] ὅταν νοσήσωσι, δειλία μὴ τελευτήσωσιν·

[00043] ὅταν τελευτήσωσιν, ὡς ἐπ' ἀτέκνῳ λοιπὸν ἔσεσθαι καταφρόνησιν φόβος·

[00044] ὅταν μὴ τελευτήσωσιν, ὡς ὑπὲρ ζώντων ἡ φροντὶς βαρυτέρα, πόθεν εἰς παίδευσιν χορηγία τοῖς τέκνοις, πόθεν αὐτοῖς γαμικοῦ παρασκευὴ συναλλάγματος, πόθεν ἐσθημάτων εὐσχημοσύνη, πόθεν οἰκετῶν ἑκάστῳ διανομὴ, ποῖα τῶν ὄντων προσνείμῃ τῷ μείζονι, πῶς τὸν μικρότερον θεραπεύσει φθονοῦντα.

[00045] Ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι.

[00046] Οὐ τοῦ γάμου στηλιτεύω τὴν φύσιν·

[00047] πρόνοια γὰρ οὗτος τοῦ γένους κοινή·

[00048] ἀλλὰ τῶν ἐν γάμῳ δημοσιεύω τὴν μέριμναν, μερίμνης σαρκικῆς οὐράνιον προτίθημι μέριμναν, κάλλιον καλοῦ προτιμῶ.

[00049] Κρείττων καὶ τῶν κατὰ τῆς Εὔας ἡ παρθένος προστίμων·

[00050] τὸ γὰρ, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει, ταῖς παρ' ἀνδρῶν μὴ δεσποζομέναις ἀνίσχυρον·

[00051] τὸ, Ἐν λύπαις τέξῃ τέκνα, ταῖς παρθενευούσαις ἀργόν·

[00052] ἡ γὰρ μὴ τίκτουσα τῆς τῶν λυπηρῶν ὠδίνων ἐκτὸς ἀποφάσεως.

[00053] Ἤδη τοῖς τῶν μελλόντων ἡ παρθένος ἐντρυφᾷς ἀῤῥαβῶσιν·

[00054] ἤδη τῷ τῆς ἀναστάσεως ἁγιασμῷ συνοικεῖς.

[00055] Ἐν γὰρ τῇ [50.748] ἀναστάσει, φησὶν, οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται.

[00056] Διὰ τοῦτο καὶ τὸ πτῶμα τοῦ πράγματος πάμμεγα, ἐπειδήπερ καὶ τὸ κατόρθωμα·

[00057] διὰ τοῦτο τῆς πορνευομένης ἡ τῆς παρθενευομένης ἀσέλγεια μιαρωτέρα·

[00058] οὐ γὰρ ἴσον παρθενευομένης καὶ πορνευομένης φθορά·

[00059] οὐκ ἴσον ἰδιώτιδος καὶ βασιλίδος φθορά·

[00060] οὐκ ἴσον σκεύους ἱερατικοῦ καὶ ἀγοραίου κλοπή.

[00061] Σκεῦος γὰρ ἱερατικὸν ἡ παρθένος, πορφυρὶς, ἣν οὐκ ἔξεστιν ἄλλῳ πλὴν τῷ τῶν ὅλων βασιλεῖ προσηρμόσθαι, νύμφη γάμον ἀεὶ κεκτημένη παρθένον.

[00062] Ὢ μακαρίων γάμων, ὧν ἡ στρωμνὴ παρθενία.

[00063] Ὑπὲρ τούτων τῆς μακαρίας οἱ κίνδυνοι μάρτυρος·

[00064] εἶδε γὰρ τοῦ νυμφίου τὸ κάλλος, καὶ τῆς θέας οὐκ ἀπεσπᾶτο·

[00065] ἐπέκειτο μήτηρ πρὸς γάμον ἐπείγουσα, ἡ δὲ πρὸς τὸν ἐν τοῖς οὐρανοῖς διεβόα νυμφίον·

[00066] Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ·

[00067] ἐπεφοίτα μνηστὴρ διαλέξει γαμικῇ γαργαλίζων, ἡ δὲ τῷ Χριστῷ καθ' ἑαυτὴν συνετάττετο, Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, λέγουσα·

[00068] συνέῤῥεον συγγενεῖς κολακεύοντες, ἡ δὲ διαμαρτυρόμενον ἐφαντάζετο Παῦλον·

[00069] Ἡρμοσάμην σε ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ·

[00070] ἱκέτευον οἰκέται σὺν δάκρυσιν, ἡ δὲ προσῇδεν ἐρωτικῶς τῷ νυμφίῳ·

[00071] Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;

[00072] ἐφόβουν δικασταὶ τιμωρίαις, ἡ δὲ φρονήματι πάσας κατεπάτει βοῶντι·

[00073] Οἱ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν.

[00074] Ὡς δὲ ἔδει κἀν ταῖς ὁδοῖς παρθενίας ἀνδριάντας ἀναστῆναι τῇ μάρτυρι, γίνεταί τι τοιοῦτον τῇ παιδὶ πειρατήριον.

[00075] Ἀφεμένη τῆς κρίσεως τὴν Παύλου μετεδίωκε θήραν, καὶ ταῖς φήμαις ὁδηγουμένη κατεθάῤῥει καὶ ὁδῶν ἀγουσῶν ἐπὶ Παῦλον.

[00076] Ἐτήρει δὲ ἄρα τὴν κόρην διάβολος, καὶ τηρήσας ὁδοιποροῦσαν ἐπιστρατεύει τὸν μνηστῆρα τῇ κόρῃ, τῆς παρθενίας ὡς ἐν ἐρημίᾳ λῃστήν.

[00077] Καὶ δὴ πληρούσῃ τὴν ὁδὸν τῇ γενναίᾳ ἱππόπορνος κατόπιν ὁ μνηστὴρ ὀπιπεύων ἐπωλόλυζε σύλληψιν·

[00078] ἄπορος πανταχόθεν στενοχωρία·

[00079] ὁ πολεμῶν ἰσχυρὸς, ἡ πολεμουμένη σαθρά.

[00080] Ποῦ τις ἐν ἐρημίᾳ καταφυγῆς καταφυγή;

[00081] Στραφεῖσα δὲ πρὸς οὐρανὸν ἡ παρθένος, πρὸς τὸν πᾶσι πανταχοῦ τοῖς καλοῦσι παρόντα σὺν οἰμωγαῖς ἀνωλόλυζε·

[00082] Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα.

***

[00083] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - De sancta Thecla martyre [1]**
**Litterarum Omnium Conspectus: 118 Litterae, quae repetitae sunt in 5,095 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 366 | Α | 0913 | 5 |
| β | 0946 | 15 | Β | 0914 | 0 |
| γ | 0947 | 95 | Γ | 0915 | 1 |
| δ | 0948 | 96 | Δ | 0916 | 0 |
| ε | 0949 | 233 | Ε | 0917 | 5 |
| ζ | 0950 | 15 | Ζ | 0918 | 0 |
| η | 0951 | 76 | Η | 0919 | 1 |

| | | | | | |
|---|---|---|---|---|---|
| θ | 0952 | 69 | Θ | 0920 | 3 |
| ι | 0953 | 222 | Ι | 0921 | 2 |
| κ | 0954 | 170 | Κ | 0922 | 8 |
| λ | 0955 | 113 | Λ | 0923 | 0 |
| μ | 0956 | 182 | Μ | 0924 | 1 |
| ν | 0957 | 433 | Ν | 0925 | 2 |
| ξ | 0958 | 16 | Ξ | 0926 | 0 |
| ο | 0959 | 329 | Ο | 0927 | 4 |
| π | 0960 | 178 | Π | 0928 | 10 |
| ρ | 0961 | 259 | Ρ | 0929 | 3 |
| ς | 0962 | 239 | • | 0930 | 0 |
| σ | 0963 | 197 | Σ | 0931 | 4 |
| τ | 0964 | 362 | Τ | 0932 | 4 |
| υ | 0965 | 111 | Υ | 0933 | 1 |
| φ | 0966 | 51 | Φ | 0934 | 0 |
| χ | 0967 | 26 | Χ | 0935 | 5 |
| ψ | 0968 | 5 | Ψ | 0936 | 0 |
| ω | 0969 | 72 | Ω | 0937 | 1 |
| ῤ | 8164 | 5 | | | 0 |
| ῥ | 8165 | 5 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 67 | έ | 8051 | 65 | ή | 8053 | 35 | ί | 8055 | 92 | ό | 8057 | 55 | ύ | 8059 | 42 | ώ | 8061 | 12 |
| ὰ | 8048 | 35 | ὲ | 8050 | 28 | ὴ | 80852 | 35 | ὶ | 8054 | 51 | ὸ | 8056 | 52 | ὺ | 8058 | 3 | ὼ | 8060 | 0 |
| ᾶ | 8118 | 4 | | | 0 | ῆ | 8134 | 31 | ῖ | 8150 | 41 | | | 0 | ῦ | 8166 | 33 | ῶ | 8182 | 39 |
| ἀ | 7936 | 44 | ἐ | 7952 | 44 | ἠ | 7968 | 0 | ἰ | 7984 | 15 | ὀ | 8000 | 5 | ὐ | 8016 | 35 | ὠ | 8032 | 2 |
| ἁ | 7937 | 6 | ἑ | 7953 | 4 | ἡ | 7969 | 30 | ἱ | 7985 | 8 | ὁ | 8001 | 12 | ὑ | 8017 | 7 | ὡ | 8033 | 10 |
| ἂ | 7938 | 1 | ἒ | 7954 | 0 | ἢ | 7970 | 0 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 1 | ἓ | 7955 | 0 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 0 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 13 | ἔ | 7956 | 5 | ἤ | 7972 | 2 | ἴ | 7988 | 3 | ὄ | 8004 | 1 | ὔ | 8020 | 5 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 0 | ἥ | 7973 | 0 | ἵ | 7989 | 3 | ὅ | 8005 | 10 | ὕ | 8021 | 1 | ὥ | 8037 | 1 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 1 | ἶ | 7990 | 1 | | | 0 | ὖ | 8022 | 1 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 2 | ὧ | 8039 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 2 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 3 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 6 | | | 0 | ῃ | 8131 | 14 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 10 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 5 | | | 0 | ῇ | 8135 | 20 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 13 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - De sancta Thecla martyre [1]**
**Verborum Omnium Conspectus: 571Verba, quae repetita sunt in 1,406,053 occasionibus**

---

**ἆ** [00006]
**Ἆ** [00018]
**ἀΐδιος** [00015]
**ἀγαθῶν** [00073]
**ἄγαμος** [00026] [00045]
**ἀγάπης** [00071]
**ἁγία** [00026] [00029] [00045]
**ΑΓΙΑΝ** [00001]
**ἁγιασμῷ** [00054]
**ἅγιον** [00023]
**ἁγίων** [00002]
**ἁγνὴν** [00069]
**ἀγοραίου** [00060]
**ἀγουσῶν** [00075]
**ἀγωνία** [00040]
**ἀεὶ** [00061]
**Αἱ** [00007]
**ἀκοαῖς** [00026]
**ἀκοῶν** [00011]
**ἀκριβῶς** [00006]
**Ἀλλ** [00024]
**ἀλλὰ** [00048] [00073]
**ἄλλαις** [00011]
**ἄλλας** [00011]
**ἄλλοις** [00024]
**ἄλλῳ** [00061]
**ἀμεριμνίας** [00029]
**ἀμφότερα** [00035]
**Ἂν** [00016]
**ἀνάγκαις** [00021]
**ἀνάγκας** [00030]
**ἀνάμεστον** [00029]
**ἀναστάσει** [00055]
**ἀναστάσεως** [00054]
**ἀναστῆναι** [00074]
**ἀνασχέσθαι** [00030]
**ἀνατείνουσαν** [00004]
**ἀνατροφῆς** [00038]
**ἄνδρα** [00050]
**ἀνδρὶ** [00069]
**ἀνδριάντας** [00074]
**ἀνδρῶν** [00050]
**ἀνενδότῳ** [00011]
**ἀνεστήσατο** [00002]
**ἀνὴρ** [00032]
**ἀνίσχυρον** [00050]
**ἀνωλόλυζε** [00081]
**ἀπεσπᾶτο** [00064]
**Ἀπηλλάγησαν** [00037]
**ἄπορος** [00078]
**ἀπόστολον** [00001]
**ἀποστροφή** [00050]
**ἀποφάσεως** [00052]
**ἄρα** [00026] [00076]
**ἀργόν** [00051]
**ἀῤῥαβῶσιν** [00053]

ἄῤῥεν [00032] [00033]
ἄρχοντες [00073]
ἀσέλγεια [00057]
ἀσελγέσιν [00012]
ἀσελγῶς [00013]
ἀτέκνῳ [00043]
αὐταῖς [00015]
αὐτὰς [00014]
αὐτῇ [00006] [00023] [00025] [00028] [00030]
αὐτὴν [00025]
αὐτοῖς [00044]
αὐτὸς [00028]
αὐτός [00050]
αὐτῶν [00002]
Ἀφεμένη [00075]
ἀφῃρῆσθαι [00030]
ἀχειροποιήτοις [00009]

βαρυτέρα [00044]
βασάνοις [00020]
βασιλεῖ [00061]
βασιλίδος [00059]
βοῶντι [00072]

γάλακτος [00037]
γαμετὴν [00030]
γαμικὰς [00030]
γαμικῇ [00067]
γαμικοῦ [00044]
γαμίσκονται [00055]
γάμον [00061] [00065]
γάμου [00046]
γαμοῦσιν [00055]
γάμῳ [00048]
γάμων [00025] [00062]
γὰρ [00003] [00007] [00009] [00017] [00023] [00029] [00047] [00050] [00052] [00055] [00058] [00061] [00064]
γαργαλίζων [00067]
γέγονε [00016]
γενναίᾳ [00077]
γενομένην [00030]
γένους [00047]
γῆν [00030]
γίνεταί [00074]
γνώμης [00011] [00023]
γονεῖς [00025]

δάκρυσιν [00070]
δὲ [00004] [00005] [00008] [00016] [00022] [00025] [00026] [00065] [00067] [00068] [00070] [00072] [00074] [00076] [00081]
δεδωκότα [00025]
δειλία [00042]
δεινοί [00007]
δεινότεροι [00008]
δεσμοῖς [00009]
δεσποζομέναις [00050]
Δεσπότη [00005]
Δεσπότην [00025]
δὴ [00016] [00018] [00077]
δήμιοι [00007]
δημίων [00008] [00021]
δημοσιεύω [00048]
δι [00010] [00011] [00012]
Διὰ [00056]
διὰ [00014] [00057]
διάβολος [00076]
διαλέξει [00067]
διαμαρτυρόμενον [00068]
διάνοιαν [00011]
διανομὴ [00044]
διαπτύεσθαι [00030]
διασώζει [00002]
διεβόα [00065]
διεδέξατο [00038]
διευθύνεσθαι [00030]
διηνεκῶς [00002]
δικασταὶ [00072]
δοκῶ [00004]
δριμείᾳ [00011]

ἑαυτὴν [00067]
ἐγκειμένας [00003]
ἐγκλήματα [00030]
ἐγκώμιον [00001]
ἐγρηγορότες [00014]
ἔδει [00074]
εἶδε [00064]
εἰδότες [00025]
εἰκόνας [00002]
εἰκόνι [00003] [00003]
εἰκόνος [00004]
εἰπεῖν [00014]
εἰργάζετο [00018]
εἰς [00002] [00044]
ΕΙΣ [00001]
εἰσὶ [00073]
Ἕκαστος [00003]
ἑκάστῳ [00044]
ἐκείνην [00004]
ἐκεῖνος [00020]
ἐκλυόμενον [00012]
Ἐκολλήθη [00067]
ἐκτὸς [00052]
ἐλαιωδεστέρα [00017]
ἐλευθερωτέραν [00029]
ἐμακρολόγουν [00025]
ἐν [00048] [00065] [00066] [00076] [00080]
Ἐν [00051] [00055]
ἐνὶ [00069]
ἐννοίαις [00021]

**ἐντρυφᾷς** [00053]
**ἐντυγχάνων** [00003]
**ἐντύχωσιν** [00013]
**ἐξ** [00025]
**ἔξαψιν** [00017]
**ἔξεστιν** [00061]
**ἐξήσκει** [00024]
**ἐξουσίαν** [00030]
**ἐπ** [00004] [00011] [00043]
**ἐπείγουσα** [00065]
**ἐπειδήπερ** [00056]
**ἐπέκειτο** [00065]
**ἐπεφοίτα** [00067]
**ἐπὶ** [00075] [00082]
**ἐπιστρατεύει** [00076]
**Επιτρέπετα** [00039] [00083]
**ἐπῳδὴ** [00026]
**ἐπωλόλυζε** [00077]
**ἔργων** [00073]
**ἐρημίᾳ** [00076] [00080]
**ἐρχομένας** [00002]
**ἐρωτικῶς** [00070]
**ἔσεσθαι** [00043]
**ἐσθημάτων** [00044]
**ἑστηκυῖαν** [00004]
**ἐτέχθη** [00034]
**Ἐτέχθη** [00031]
**Ἐτήρει** [00076]
**ἐτησίους** [00002]
**Εὔας** [00049]
**εὐθύς** [00027]
**Εὐκατάπρηστος** [00017]
**εὐλογίας** [00029]
**εὔμορφον** [00034]
**εὑρίσκειν** [00030]
**εὐσχημοσύνη** [00044]
**ἐφαντάζετο** [00068]
**ἐφόβουν** [00072]

**ζηλοτυπεῖσθαι** [00030]
**ζώντων** [00044]

**ἡ** [00002] [00017] [00024] [00026] [00036] [00044] [00049] [00050] [00052] [00053] [00057] [00061] [00062] [00065] [00067] [00067] [00068] [00070] [00072] [00079] [00081]
**Ἡ** [00026] [00045]
**ἢ** [00026] [00029] [00045]
**ἤδη** [00054]
**Ἤδη** [00053]
**ἡδοναὶ** [00007] [00012]
**ἡδοναῖς** [00017] [00019]
**ἡδονῶν** [00004]
**ἡλίῳ** [00015]
**ἤλπισα** [00082]
**ἡμᾶς** [00071]
**ἡμῖν** [00002]
**ἡμῶν** [00011]
**ἣν** [00061]
**Ἦν** [00006]
**ἦρα** [00066]
**Ἡρμοσάμην** [00069]

**θέας** [00064]
**Θέκλᾳ** [00024]
**Θέκλαν** [00001]
**Θεός** [00082]
**θεραπεύσει** [00044]
**θεωρεῖ** [00003]
**θήλεια** [00031]
**θήραν** [00075]
**θηρίοις** [00019]

**ἰδιώτιδος** [00059]
**ἱερατικὸν** [00061]
**ἱερατικοῦ** [00060]
**ἱκέτευον** [00070]
**ἵνα** [00026] [00029] [00045]
**ἱππόπορνος** [00077]
**ἴσον** [00058] [00059] [00060]
**ἰσχυρὸς** [00079]

**καθ** [00004] [00011] [00067]
**καθάπερ** [00004] [00030]
**κακῶν** [00073]
**καλάμην** [00016]
**Καλὰς** [00002]
**κάλλη** [00012]
**κάλλιον** [00048]
**κάλλος** [00003] [00035] [00064]
**καλοῦ** [00048]
**καλοῦσι** [00081]
**καλῶν** [00036]
**καμίνου** [00016]
**κἂν** [00074]
**κατατείνουσι** [00009]
**καταφρόνησιν** [00043]
**καταφυγή** [00080]
**καταφυγῆς** [00080]
**κατεθάῤῥει** [00075]
**κατεπάτει** [00072]
**κατοικοῦντα** [00066]
**κατόπιν** [00077]
**κατοπτρίζεσθαι** [00004]
**κατοπτρίζεται** [00003]
**κατόρθωμα** [00056]
**κεκλεισμένοις** [00013]
**κεκτημένη** [00061]
**κίνδυνοι** [00063]
**κινδύνων** [00004]

**κλεισθὲν** [00012]
**κλοπή** [00060]
**κοιμωμένοις** [00014]
**κοινή** [00047]
**κοινὸν** [00030]
**κολακεύοντες** [00068]
**κόρῃ** [00024] [00076]
**κόρην** [00004] [00076]
**κόρης** [00026]
**κοσμηθεῖσαι** [00013]
**κοσμουμένην** [00030]
**Κρείττων** [00049]
**κρίσεως** [00075]
**κύκλος** [00015]
**κυκῶσι** [00011]
**Κύριε** [00082]
**κυριεύσει** [00050]
**Κυρίου** [00026] [00045]

**λάβωνται** [00016]
**λαμπάδα** [00011]
**λέγουσα** [00067]
**λήθην** [00002]
**λῃστήν** [00076]
**λογισμοῖς** [00013] [00020]
**λοιπὸν** [00043]
**λύπαις** [00051]
**λυπηρῶν** [00052]
**λυττῶσα** [00024]

**μακαρίᾳ** [00018]
**μακαρίαν** [00004]
**μακαρίας** [00063]
**μακαρίων** [00062]
**μακρόν** [00018]
**μᾶλλον** [00008]
**μάρτυρι** [00074]
**μαρτύριον** [00005] [00006] [00018]
**μαρτυρίου** [00006]
**μάρτυρος** [00063]
**μάρτυς** [00019]
**μάστιγι** [00011]
**μαστιγοῦσι** [00011]
**ματαίας** [00030]
**μέγα** [00006]
**μείζονι** [00044]
**μελλόντων** [00053]
**μὲν** [00004] [00005] [00006] [00024]
**μεριμνᾷ** [00026] [00029] [00029] [00045]
**μέριμναν** [00029] [00048] [00048]
**μερίμνης** [00028] [00048]
**μετεδίωκε** [00075]
**μήτηρ** [00065]
**μιαρωτέρα** [00057]
**μικρότερον** [00044]
**μίξιν** [00024]
**μνήμας** [00002]
**μνήμῃ** [00003]
**μνήμης** [00003] [00004]
**μνηστὴρ** [00067] [00077]
**μνηστῆρα** [00076]
**μοι** [00004]
**μου** [00066] [00067] [00082]

**νεαρὰς** [00002]
**νεότης** [00017]
**νεότητος** [00016]
**νικήσωμεν** [00014]
**νικώσῃ** [00022]
**νοσήσωσι** [00041] [00042]
**νουθεσίας** [00025]
**νυκτί** [00015]
**νυμφαγωγίας** [00025]
**νύμφη** [00061]
**νυμφίον** [00065]
**νυμφίου** [00030] [00064]
**νυμφίῳ** [00070]

**ξέουσι** [00010]

**ὁ** [00015] [00019] [00028] [00032] [00077] [00079] [00082]
**ὁδηγουμένη** [00075]
**ὁδοιποροῦσαν** [00076]
**ὁδοῖς** [00074]
**ὁδὸν** [00077]
**ὁδῶν** [00075]
**Οἱ** [00073]
**οἱ** [00025] [00063]
**οἰκέται** [00070]
**οἰκετῶν** [00044]
**οἰμωγαῖς** [00081]
**οἶον** [00030]
**ὅλων** [00005] [00061]
**ὀμμάτων** [00010]
**ὅμως** [00022]
**ὄντων** [00044]
**ὀπιπεύων** [00077]
**ὀπίσω** [00067]
**ὅταν** [00013] [00014] [00041] [00042] [00043] [00044]
**Ὅταν** [00012]
**ὅτι** [00032]
**Οὐ** [00046]
**οὐ** [00015] [00058]
**οὐδὲ** [00025]
**οὐδεμία** [00030]
**Οὐδὲν** [00030]

**οὐκ** [00025] [00034] [00059] [00060] [00061] [00064] [00073]
**οὐν** [00006]
**οὔπω** [00030]
**οὐράνιον** [00048]
**οὐρανοῖς** [00065]
**οὐρανὸν** [00081]
**οὐρανοῦ** [00025]
**οὐρανῷ** [00066]
**οὔτε** [00055] [00055]
**οὗτος** [00015] [00047]
**οὕτω** [00022]
**οὐχ** [00015]
**ὀφθαλμοῖς** [00012]
**ὀφθαλμούς** [00066]

**παίδευσιν** [00044]
**παιδὶ** [00074]
**παιδὸς** [00025]
**παλαιούση** [00020]
**πάλιν** [00038]
**πάμμεγα** [00056]
**πάντα** [00018]
**πανταχόθεν** [00078]
**πανταχοῦ** [00081]
**πάντων** [00014]
**παρ** [00024] [00050]
**παρὰ** [00024]
**παραγγείλη** [00012]
**παρανοίγουσι** [00012]
**παρασκευὴ** [00044]
**παραστῆσαι** [00069]
**παρατάξεις** [00011]
**παρατάξεως** [00015]
**παρεχώρει** [00024]
**παρθενευομένης** [00057] [00058]
**παρθενευούσαις** [00051]
**παρθενία** [00062]
**παρθενίαν** [00005] [00018] [00024] [00025]
**παρθενίας** [00006] [00027] [00074] [00076]
**παρθένον** [00061] [00069]
**παρθένος** [00049] [00053] [00061] [00081]
**παρθένῳ** [00018]
**παρόντα** [00081]
**πάσας** [00072]
**πάσης** [00029]
**πᾶσι** [00081]
**Παῦλον** [00068] [00075]
**Παύλου** [00026] [00075]
**πειρατήριον** [00074]
**περὶ** [00025] [00030]
**πικροτέρα** [00036]
**πλὴν** [00061]
**πληρούση** [00077]
**πνεύματι** [00026] [00029] [00045]
**Πνεύματος** [00002]
**πόθεν** [00044] [00044] [00044] [00044]
**ποῖα** [00044]
**πόλεμον** [00022]
**πολεμουμένη** [00079]
**πολεμῶν** [00079]
**πολλὰς** [00025]
**πολύτροπον** [00022]
**πόνους** [00017]
**πορνευομένης** [00057] [00058]
**πορνεύοντος** [00030]
**πορνικὰς** [00013]
**πορφυρὶς** [00061]
**Ποῦ** [00080]
**πράγματος** [00056]
**πράξεις** [00002] [00003]
**πράξεων** [00003]
**πρὶν** [00030]
**πρὸ** [00006]
**προενήφει** [00026]
**πρόνοια** [00047]
**προόδων** [00030]
**Πρὸς** [00050] [00066]
**πρὸς** [00012] [00013] [00016] [00016] [00017] [00017] [00024] [00025] [00025] [00030] [00030] [00035] [00065] [00065] [00081] [00081]
**Προσετέθη** [00033]
**προσῆδεν** [00070]
**προσηρμόσθαι** [00061]
**προσνείμη** [00044]
**προσπαίζουσι** [00013]
**προστίμων** [00049]
**προσφέρουσαν** [00005]
**προσφέρουσι** [00011]
**προτίθημι** [00048]
**προτιμῶ** [00048]
**ΠΡΩΤΟΜΑΡΤΥΡΑ** [00001]
**πρῶτος** [00028]
**πτῶμα** [00056]
**πυκτευούση** [00019]
**πῦρ** [00016]
**πυρὸς** [00016] [00023]
**πυρωδέστερον** [00023]
**πῶς** [00044]

**σαθρά** [00079]
**σαρκικῆς** [00048]
**σὲ** [00066]
**σε** [00069]
**σήμερον** [00004]
**Σκεῦος** [00061]
**σκεύους** [00060]
**σκιαμαχοῦσι** [00014]
**σκοπουμένοις** [00006]
**σκυθρωπάζει** [00032]
**σοὶ** [00082]
**σου** [00050] [00050] [00050] [00067]
**στενοχωρία** [00078]
**στέφανον** [00004]
**Στέφανος** [00027]

**στηλιτεύω** [00046]
**Στραφεῖσα** [00081]
**στρωμνὴ** [00062]
**συγγένεια** [00030]
**συγγενεῖς** [00068]
**σύλληψιν** [00077]
**συμβαλλούση** [00021]
**συμπλοκὴ** [00016]
**σὺν** [00070] [00081]
**συναλλάγματος** [00044]
**συνάφεια** [00016]
**συνεξιστάμενος** [00015]
**συνέῤῥεον** [00068]
**συνετάττετο** [00067]
**συνησυχάζων** [00015]
**συνθήκας** [00025]
**συνοικεῖς** [00054]
**σύνοικον** [00022]
**συντόμως** [00014]
**σώματι** [00026] [00029] [00045]
**σώματος** [00007]
**σωφροσύνης** [00017]

**τὰ** [00006] [00026] [00045]
**ταῖς** [00019] [00026] [00050] [00051] [00074] [00075]
**τὰς** [00002] [00002] [00003] [00025]
**τέκη** [00030]
**τέκνα** [00051]
**τέκνοις** [00044]
**τεκοῦσαν** [00030]
**τελευτήσωσιν** [00042] [00043] [00044]
**τέξη** [00051]
**τετυφλῶσθαι** [00012]
**τεχθὲν** [00034]
**τῇ** [00003] [00003] [00004] [00004] [00005] [00005] [00018] [00024] [00055] [00074] [00074] [00076] [00077]
**ΤΗΝ** [00001]
**τὴν** [00004] [00005] [00010] [00011] [00018] [00025] [00030] [00046] [00048] [00075] [00076] [00077]
**τηρήσας** [00076]
**τῆς** [00003] [00004] [00006] [00011] [00015] [00023] [00023] [00025] [00025] [00026] [00027] [00028] [00049] [00052] [00054] [00057] [00057] [00063] [00064] [00071] [00075] [00076]
**τι** [00006] [00018] [00074]
**τίκτουσα** [00052]
**τιμωρίαις** [00072]
**τινες** [00007]
**τινὶ** [00003]
**Τίς** [00071]
**τις** [00012] [00031] [00080]
**τὸ** [00003] [00005] [00012] [00023] [00034] [00050] [00051] [00056] [00056] [00064]
**τοιοῦτον** [00074]
**τοῖς** [00006] [00012] [00013] [00020] [00044] [00053] [00065] [00081]
**τόκων** [00030]
**τὸν** [00004] [00004] [00022] [00025] [00044] [00050] [00065] [00066] [00076] [00081]
**τοῦ** [00002] [00007] [00023] [00026] [00045] [00046] [00047] [00056] [00064] [00071]
**τοὺς** [00066]
**τοῦτο** [00056] [00057]
**τούτων** [00063]
**τρόπος** [00028]
**τροφῆς** [00030]
**τρυφερωτέρα** [00017]
**τυραννοῦσα** [00024]
**τῷ** [00005] [00011] [00044] [00054] [00061] [00066] [00067] [00069] [00070]
**τῶν** [00002] [00003] [00005] [00030] [00044] [00048] [00049] [00052] [00053] [00061] [00073] [00073]

**ὑγιαίνωσι** [00041]
**ὑπενεγκεῖν** [00030]
**ὑπὲρ** [00030] [00036] [00044]
**Ὑπὲρ** [00063]
**ὑποψίας** [00030]

**φήμαις** [00075]
**φησὶν** [00055]
**φθονοῦντα** [00044]
**φθορά** [00058] [00059]
**φιληδονίας** [00011] [00021]
**φόβος** [00041] [00043] [00073]
**φρονήματι** [00072]
**φροντίδα** [00029]
**φροντὶς** [00036] [00044]
**φύσεως** [00023]
**φύσιν** [00046]
**φύσις** [00024]

**Χαρίεντα** [00035]
**χάρις** [00002]
**χορηγία** [00044]
**χρησίμων** [00030]
**Χριστὸν** [00025]
**Χριστοῦ** [00071]
**Χριστῷ** [00067] [00069]
**χρόνῳ** [00002]
**χωρίσει** [00071]

**ψυχή** [00067]
**ψυχὴν** [00010]

**Ὦ** [00062]
**ᾠδαῖς** [00012]
**ᾠδὰς** [00013]
**ὠδίνων** [00052]
**ὧν** [00062]
**ὡς** [00017] [00017] [00019] [00020] [00021] [00034] [00036] [00043] [00044] [00076]
**Ὡς** [00074]
**ὠσὶ** [00013]
**ὥσπερ** [00003]
**ὤτων** [00012]